Μέγας Βασίλειος, ἐπίσκοπος Καισαρείας (330-379 μ.Χ.), *Ἐπιστολὴ πρὸς ἄρχοντα Ἀνδρόνικο*, 18-19.

Σκοπὸς ποινῆς: μὴ ἀνταποδοτικὸς χαρακτῆρας, ἀλλὰ γενικὴ καὶ εἰδικὴ πρόληψη

… ὅσους μὲ ὁποιονδήποτε τρόπο διαπράττουν ἀδικήματα δὲν τιμωροῦμε γιὰ τὰ ἤδη διαπραχθέντα (διότι ποῖο τέχνασμα μπορεῖ νὰ ἐφευρεθῇ γιὰ νὰ ξεγίνουν ὅσα ἔγιναν;), ἀλλὰ εἴτε γιὰ νὰ γίνουν οἱ ἴδιοι **καλύτεροι στὸ μέλλον** εἴτε γιὰ νὰ καταστοῦν **παραδείγματα πρὸς σωφρονισμὸ τῶν ὑπολοίπων**.

Ἐκεῖνο δὲ ἐπὶ πᾶσιν εἰπεῖν ἀναγκαῖον, ὅτι τοὺς ὁτιοῦν ἀδικοῦντας οὐχ ὑπὲρ τῶν ἤδη γεγενημένων κολάζομεν (τίς γὰρ ἂν γένοιτο μηχανὴ μὴ γεγενῆσθαι τὰ πεπραγμένα;), ἀλλ᾽ ὅπως ἂν ἢ αὐτοὶ πρὸς τὸ λοιπὸν ἀμείνους γένοιντο ἢ ἑτέροις ὑπάρξειε τοῦ σωφρονεῖν παράδειγμα.

καὶ ἡμῖν δοῦναι συγγνώμην, ἵνα, εἰ μὲν μηδὲν πεπλημμέληται τῷ ἀνδρί, σωθῆναι αὐτὸν δι' αὐτὴν τὴν ἀλήθειαν, εἰ δὲ καὶ ἥμαρτεν, ἀφεθῆναι αὐτῷ δι' ἡμᾶς τοὺς ἱκετεύσαντας. Οἷα γὰρ τἀνταῦθά ἐστι τῶν πραγμάτων τίς μᾶλλον ἐπίσταται σοῦ, τοῦ καὶ ἐπιβλέποντος τὰ παρ' ἑκάστου σαθρὰ καὶ τῇ θαυμασίᾳ προμηθείᾳ τὰ πάντα διακρατοῦντος;

252

112. ΑΝΔΡΟΝΙΚΩ ΗΓΕΜΟΝΙ

1. Εἰ μὲν οὕτως εἶχον σώματος ὥστε ῥᾳδίως ὑπομένειν ὁδοιπορίας δύνασθαι καὶ τὰ τοῦ χειμῶνος δυσχερῆ φέρειν, οὐκ ἂν ἐπέστελλον, ἀλλ' αὐτὸς παρὰ τὴν σὴν μεγαλοψυχίαν ἐβάδιζον δυοῖν ἕνεκεν· τοῦ τε παλαιᾶς ὑποσχέσεως ἐκτίσαι χρέος (οἶδα γὰρ ὁμολογήσας παρέσεσθαι τῇ Σεβαστείᾳ καὶ ἀπολαύσειν σου τῆς τελειότητος, ὅπερ ἐποίησα μέν, διήμαρτον δὲ τῆς συντυχίας μικρὸν κατόπιν τῆς σῆς καλοκαγαθίας παραγενόμενος), ἑτέρου δὲ τοῦ τὴν πρεσβείαν δι' ἐμαυτοῦ πληρῶσαι ἣν ἀποστεῖλαι τέως ἀπώκνουν, μικρότερον ἐμαυτὸν κρίνων ἢ ὥστε τοιαύτης τυγχάνειν χάριτος καὶ ἅμα λογιζόμενος ὅτι οὔτε ἄρχοντα οὔτε ἰδιώτην ὑπὲρ οὐδενὸς ἄν τις λέγων διὰ γραμμάτων πείσειεν οὕτως ὡς αὐτὸς παρὼν καὶ τὰ μὲν ἀπολυόμενος τῶν ἐγκλημάτων, τὰ δὲ ἱκετεύων, τοῖς δὲ συγγνώμην παραιτούμενος ἔχειν· ὧν οὐδὲν ἂν ῥᾳδίως δι' ἐπιστολῆς γένοιτο. Πᾶσιν οὖν τούτοις ἐν ἀντιθείς, σὲ

Ἐπιστολὴ 112. Ἐγράφη τὸ 372. Ὁ Ἀνδρόνικος, τὸν ὁποῖον ὁ Βασίλειος προσφωνεῖ ἡγεμόνα, ἦτο διοικητὴς ἐπαρχίας καὶ συνεδέετο μὲ αὐτόν.

χων καὶ νὰ δώσῃ εἰς ἡμᾶς συγγνώμην, οὕτως ὥστε, ἐὰν μὲν δὲν ἔπραξε τίποτε ἀξιόμεμπτον, νὰ σωθῇ χάριν τῆς ἀληθείας καθ' ἑαυτήν, ἐὰν δὲ πράγματι ἡμάρτησε, νὰ τοῦ συγχωρηθῇ τὸ πταῖσμα χάριν ἡμῶν ποὺ ἱκετεύομεν. Διότι, ὁποῖα εἶναι τὰ ἐδῶ πράγματα ποῖος γνωρίζει καλύτερα ἀπὸ σέ, ὁ ὁποῖος καὶ ἐπιβλέπεις ὅσα ἐνεργοῦνται σαθρὰ ἀπὸ τὸν καθένα καὶ ἔχεις ὑπὸ τὸν ἔλεγχόν σου τὰ πάντα μὲ τὴν θαυμασίαν πρόνοιάν σου;

252

ΕΠΙΣΤΟΛΗ 112
ΠΡΟΣ ΤΟΝ ΗΓΕΜΟΝΑ ΑΝΔΡΟΝΙΚΟΝ

1. Ἐὰν εὑρισκόμην εἰς τοιαύτην σωματικὴν κατάστασιν, ὥστε νὰ ἠμπορῶ νὰ ὑπομένω ὁδοιπορίας καὶ νὰ ὑποφέρω τὰς κακουχίας τοῦ χειμῶνος, δὲν θὰ σοῦ ἔγραφα, ἀλλὰ θὰ ἐβάδιζα ἐγὼ ὁ ἴδιος πρὸς τὴν μεγαλοψυχίαν σου, διὰ δύο λόγους· ἀφ' ἑνὸς μὲν διὰ νὰ ἐκπληρώσω παλαιὸν χρέος —γνωρίζω φυσικὰ ὅτι ὑπεσχέθην ὅτι θὰ ἔλθω εἰς τὴν Σεβάστειαν διὰ ν' ἀπολαύσω τῆς τελειότητός σου, πρᾶγμα τὸ ὁποῖον ἐπεχείρησα μὲν ἀλλ' ἀπέτυχα νὰ σὲ συναντήσω, διότι ἔφθασα ὀλίγον μετὰ τὴν καλοκαγαθίαν σου—, ἀφ' ἑτέρου δὲ διὰ νὰ πραγματοποιήσω μόνος μου τὴν πρεσβείαν ποὺ ἕως τώρα ἐδίσταζα ν' ἀποστείλω, διότι ἔκρινα τὸν ἑαυτόν μου κατώτερον τῆς ἐπιτεύξεως τοιαύτης χάριτος καὶ συγχρόνως διότι ἐσκεπτόμην ὅτι δὲν θὰ ἠμποροῦσε κανεὶς νὰ πείσῃ οὔτε ἄρχοντα οὔτε ἰδιώτην μεσολαβῶν ὑπὲρ ἑνὸς ἄλλου τόσον ἀποτελεσματικῶς διὰ γράμματος ὅσον δι' αὐτοπροσώπου παρουσίας, μὲ τὴν ὁποίαν ἀπὸ ἄλλας κατηγορίας ἀπαλλάσσων, δι' ἄλλα ἱκετεύων, καὶ διὰ τὰ ὑπόλοιπα ζητῶν συγγνώμην, πράγματα ποὺ δὲν εἶναι εὔκολον νὰ γίνουν δι' ἐπιστολῆς. Εἰς ὅλα λοιπὸν αὐτὰ τὰ μειονεκτήμα-

---

Ὁ Βασίλειος μεσολαβεῖ πρὸς αὐτὸν ὑπὲρ τοῦ γνωρίμου τοῦ Δομετιανοῦ, ὁ ὁποῖος εἶχε διαπράξει βαρεῖαν παράβασιν.

τὴν θείαν κεφαλήν, καὶ ὅτι ἐξαρκέσει τὴν γνώμην ἐνδείξασθαί σοι, ἣν περὶ τοῦ πράγματος ἔχομεν, τὰ δὲ λοιπὰ προσθήσεις παρὰ σαυτοῦ, πρὸς τὴν ἐγχείρησιν οὐκ ἀπώκνησα.

2. Ἀλλ' ὁρᾷς ὅπως κύκλῳ περίειμι ὀκνῶν καὶ ἀναδυόμενος τὴν αἰτίαν ἐκφαίνειν ὑπὲρ ὧν ποιοῦμαι τοὺς λόγους. Δομετιανὸς οὗτος ἐπιτήδειος ἡμῖν ἐστιν ἐκ τῶν γονέων ἄνωθεν, ὥστε ἀδελφοῦ μηδ' ὁτιοῦν διαφέρειν. Τί γὰρ ἄν τις μὴ τἀληθῆ λέγοι; Εἶτα τὴν αἰτίαν μαθόντες ἀφ' ἧς ταῦτα πέπονθεν, ἄξιον εἶναι τοῦ παθεῖν οὕτως ἔφαμεν. Μηδὲ γὰρ ἔστω μηδείς, ὃς μικρὸν ἢ μεῖζον εἰς τὴν σὴν ἀρετὴν ἀμελήσας, τὴν τιμωρίαν ἐκφύγοι. Ἀλλ' ὁρῶντες τοῦτον περιδεῶς καὶ ἀδόξως ζῶντα καὶ ἐπὶ τῇ σῇ ψήφῳ κειμένην αὐτοῦ τὴν σωτηρίαν, ἀρκοῦσαν αὐτὸν ἔχειν τὴν δίκην ἐκρίναμεν, μεγαλόψυχόν τι ὁμοῦ καὶ φιλάνθρωπον διανοηθῆναί σε περὶ αὐτοῦ ἱκετεύομεν. Τὸ μὲν γὰρ τοὺς ἀντιτείνοντας ὑπὸ χεῖρα λαμβάνειν ἀνδρείου τε καὶ ἄρχοντος ὡς ἀληθῶς, τὸ δὲ τοῖς ὑποπεπτωκόσι χρηστὸν εἶναι καὶ πρᾶον μεγαλοφροσύνῃ πάντων καὶ ἡμερότητι διαφέροντος. Ὥστε ὑπάρξει σοι βουληθέντι ἐν τῷ αὐτῷ τήν τε πρὸς τὸ ἀμύνασθαι καὶ τὴν εἰς τὸ σώζειν, ὡς ἂν ἐθέλῃς, ἐπιδείξασθαι μεγαλοψυχίαν. Τοῦτο μέτρον ἀρκοῦν Δομετιανῷ τῆς κολάσεως, τῶν προσδοκωμένων ὁ φόβος καὶ ὧν ἄξιον οἶδεν ἑαυτὸν παθεῖν ὄντα. Τούτοις μηδὲν εἰς τιμωρίαν αὐτῷ προσθεῖναι ἱκετεύομεν. Καὶ γὰρ ἐκεῖνο σκόπει ὅτι κύριοι μὲν τῶν ἠδικηκότων πολλοὶ τῶν πρότερον ἤδη γεγόνασιν, ὧν οὐδεὶς πρὸς τοὺς ὕστερον διεπέμφθη λόγος· ἀφῆκαν δὲ τὴν ὀργὴν οἱ φιλοσοφίᾳ τοὺς πολλοὺς ὑπεράραντες, ὧν ἀθάνατος ἡ μνήμη τῷ βίῳ παντὶ παραδέδοται. Προσκείσθω δὴ καὶ τοῦτο τοῖς περὶ σοῦ διηγήμασι. Δὸς ἡμῖν τοῖς ὑμνεῖν προαιρουμένοις τὰ σὰ τὰς ἐν τοῖς ἄνω χρόνοις ἀδομένας φιλανθρωπίας ὑπερβαλέσθαι. Οὕτω καὶ

τα ἀντιζυγίζων ἕνα πλεονέκτημα, σὲ τὴν θείαν κεφαλήν, καὶ πιστεύων ὅτι θὰ ἀρκέσῃ νὰ σοῦ ἀνακοινώσω τὴν γνώμην ποὺ ἔχω διὰ τὴν ὑπόθεσιν, τὰ δὲ ἄλλα θὰ προσθέσῃς ἐσὺ ὁ ἴδιος, δὲν ἐδίστασα νὰ κάμω αὐτὸ τὸ ἐγχείρημα.

2. Ἀλλὰ βλέπεις πῶς περιφέρομαι γύρω ἀπὸ ἕνα κύκλον, διστάζων καὶ φοβούμενος νὰ φανερώσω τὴν αἰτίαν διὰ τὴν ὁποίαν γράφω αὐτὴν τὴν ἐπιστολήν. Αὐτὸς ὁ ἄνθρωπος, ὁ Δομετιανός, συνδέεται μαζί μας ἀπὸ τοὺς γονεῖς μας παλαιά, τόσον ὥστε δὲν διαφέρει καθόλου ἑνὸς ἀδελφοῦ. Διατί πρέπει ν' ἀποκρύψῃ κανεὶς τὴν ἀλήθειαν; Ὅταν δὲ ἐμάθαμεν τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἔπαθεν αὐτά, εἴπαμεν ὅτι ἄξιζε νὰ τὰ πάθῃ. Πράγματι δὲν πρέπει νὰ ὑπάρχῃ κανεὶς ὁ ὁποῖος νὰ ἠμπορῇ νὰ ξεφύγῃ τὴν τιμωρίαν, ἀφοῦ περιφρονήσῃ τὴν ἀρετήν σου, εἴτε ὀλίγον εἴτε πολύ. Βλέποντες ὅμως ὅτι ζῇ μὲ φόβον καὶ ὄνειδος καὶ ὅτι ἡ σωτηρία του ἐξαρτᾶται ἀπὸ τὴν ἀπόφασίν σου, ἐκρίναμεν ὅτι ἀρκετὴν τιμωρίαν ἔλαβε, καὶ σὲ ἱκετεύομεν νὰ σκεφθῇς κάτι μεγαλόψυχον καὶ φιλάνθρωπον περὶ αὐτοῦ. Τὸ νὰ συλλαμβάνῃ κανεὶς τοὺς στασιαστὰς εἶναι πράγματι προσὸν τοῦ ἀνδρείου καὶ ἀρχοντικοῦ ἀνθρώπου, τὸ νὰ φέρεται ὅμως μὲ ἀγαθότητα καὶ πραότητα εἰς τοὺς πεσμένους κάτω ὑπερβαίνει ὅλα εἰς μεγαλοφροσύνην καὶ ἡμερότητα. Ὥστε, ἐὰν θέλῃς, ἠμπορεῖς νὰ ἐπιδείξῃς μεγαλοψυχίαν εἰς τὸ ἴδιον πρόσωπον καὶ πρὸς τὴν τιμωρίαν καὶ πρὸς τὴν σωτηρίαν, ὅπως θέλεις. Τοῦτο δὲ εἶναι ἀρκετὸν μέτρον τιμωρίας διὰ τὸν Δομετιανόν, ὁ φόβος τῶν ἀναμενομένων ἐναντίον του καὶ τῶν παθημάτων διὰ τὰ ὁποῖα ἀναγνωρίζει ὅτι εἶναι ἄξιος.

Σὲ ἱκετεύομεν νὰ μὴ προσθέσῃς τίποτε ἄλλο πρὸς τιμωρίαν του. Λάβε ὑπ' ὄψιν ἐκεῖνο· πολλοὶ ἀπὸ τοὺς παλαιοὺς ἤσκησαν τὴν δύναμίν των ἐναντίον τῶν ἀδικησάντων, ἀλλὰ περὶ αὐτῶν δὲν διετηρήθη καμμία ἀνάμνησις εἰς τοὺς μεταγενεστέρους· ἄφησαν δὲ τὴν ὀργὴν οἱ ὑπερτερήσαντες τοὺς πολλοὺς εἰς φιλοσοφίαν, αὐτῶν δὲ ἡ μνήμη διετηρήθη δι' ὅλης τῆς ἱστορίας. Ἂς προστεθῇ λοιπὸν καὶ τοῦτο εἰς τὰς περὶ σοῦ διηγήσεις. Δῶσε εἰς ἡμᾶς ποὺ θέλομεν νὰ ὑμνῶμεν τὰ ἔργα σου

Κροῖσος τῷ παιδοφόνῳ τὴν ὀργὴν ἀφεῖναι λέγεται ἑαυτὸν παραδόντι εἰς τιμωρίαν, καὶ Κῦρος ὁ μέγας αὐτῷ τούτῳ τῷ Κροίσῳ φίλος γενέσθαι μετὰ τὴν νίκην. Τούτοις σε συναριθμήσομεν καί, ὅση δύναμις ἡμετέρα, ταῦτα ἀναγορεύσομεν, εἴπερ μὴ μικροί τινες εἶναι παντάπασιν ἀνδρὸς τοσούτου κήρυκες νομισθείημεν.

3. Ἐκεῖνο δὲ ἐπὶ πᾶσιν εἰπεῖν ἀναγκαῖον, ὅτι τοὺς ὁτιοῦν ἀδικοῦντας οὐχ ὑπὲρ τῶν ἤδη γεγενημένων κολάζομεν (τίς γὰρ ἂν γένοιτο μηχανὴ μὴ γεγενῆσθαι τὰ πεπραγμένα;), ἀλλ' ὅπως ἂν ἢ αὐτοὶ πρὸς τὸ λοιπὸν ἀμείνους γένοιντο ἢ ἑτέροις ὑπάρξειε τοῦ σωφρονεῖν παραδείγματα. Τούτων τοίνυν οὐθέτερον ἐνδεῖν ἄν τις ἐν τῷ παρόντι φήσειεν· αὐτός τε γὰρ καὶ μετὰ τὸν θάνατον τούτων μεμνήσεται, τούς τε λοιποὺς τεθνάναι τῷ δέει πρὸς τοῦτον ἀφορῶντας οἶομαι. Ὥσθ' ὅπερ ἂν προσθῶμεν τῇ τιμωρίᾳ, τὴν ὀργὴν ἡμῶν αὐτῶν ἀποπιμπλάναι δόξομεν· ὃ πολλοῦ δεῖν ἐπὶ σοῦ ἀληθὲς εἶναι φαίην ἂν ἔγωγε καὶ οὐδὲν ἂν τούτων τῶν λόγων προήχθην εἰπεῖν, εἰ μὴ μείζονα τῷ διδόντι τὴν χάριν ἐνεώρων ἢ τοῖς λαμβάνουσιν. Οὐδὲ γὰρ ὀλίγοις ἔσται καταφανὴς ἡ μεγαλοψυχία τοῦ τρόπου. Καππαδόκαι γὰρ ἅπαντες ἀποσκοποῦσι τὸ μέλλον, οἷς εὐξαίμην ἂν μετὰ τῶν λοιπῶν ἀγαθῶν τῶν προσόντων σοι καὶ ταύτην ἀπαριθμεῖσθαι. Ὀκνῶ δὲ τοῦ γράφειν παύσασθαι ἡγούμενός μοι ζημίαν οἴσειν τὸ παραθέν. Τοσοῦτόν γε μὴν προσθήσω, ὅτι πολλῶν ἐπιστολὰς ἔχων ἐξαιτουμένων αὐτὸν πασῶν ἡγήσατο προτιμοτέραν εἶναι τὴν παρ' ἡμῶν, οὐκ

1. Ἡροδότου, Ἱστορίαι 1, 45.

τὸ δικαίωμα νὰ ὑπερβάλωμεν τὰς ἐγκωμιαζομένας εἰς τὰ παλαιὰ χρόνια φιλανθρωπίας. Οὕτω λέγεται ὅτι ὁ Κροῖσος ἄφησε τὴν ὀργὴν διὰ τὸν παιδοκτόνον, ὁ ὁποῖος παρέδωσε τὸν ἑαυτόν του πρὸς τιμωρίαν [1], καὶ ὁ μέγας Κῦρος ὅτι ἔγινε φίλος μὲ τὸν ἴδιον τὸν Κροῖσον μετὰ τὴν νίκην [2]. Εἰς αὐτοὺς θὰ σὲ συγκαταριθμήσωμεν καὶ αὐτὰ τὰ ἔργα σου θὰ διακηρύξωμεν, ἐὰν δὲν νομισθῶμεν ὅτι εἴμεθα πολὺ μικροὶ κήρυκες ἑνὸς τόσον μεγάλου ἀνδρός.

3. Εἰς ὅλα δὲ αὐτὰ εἶναι ἀναγκαῖον νὰ εἴπωμεν ἐκεῖνο, ὅτι τιμωροῦμεν τοὺς μὲ ὁποιονδήποτε τρόπον ἀδικοῦντας ὄχι διὰ τὰ ἤδη διαπραχθέντα —διότι ποία μηχανὴ ἠμπορεῖ νὰ εὑρεθῇ διὰ νὰ ξεγίνουν τὰ πεπραγμένα;—, ἀλλὰ ἢ διὰ νὰ γίνουν οἱ ἴδιοι καλύτεροι εἰς τὸ μέλλον ἢ διὰ νὰ καταστοῦν παραδείγματα πρὸς σωφρονισμὸν ἄλλων. Κανένα ἀπὸ τὰ δύο αὐτὰ δὲν ἠμπορεῖ κανεὶς νὰ ἐπικαλεσθῇ εἰς τὴν παροῦσαν περίπτωσιν· διότι ὁ Δομετιανὸς θὰ ἐνθυμῆται αὐτὰ καὶ μετὰ τὸν θάνατόν του, νομίζω δὲ ὅτι καὶ οἱ ἄλλοι καταλαμβάνονται ἀπὸ φόβον μέχρι θανάτου καθὼς τὸν κυττάζουν. Ἐπομένως, ἂν προσθέσωμεν κάτι εἰς τὴν τιμωρίαν του, θὰ φανῶμεν ὅτι ἱκανοποιοῦμεν ἁπλῶς τὴν ὀργήν μας. Τοῦτο ὅμως ἐγὼ θὰ ἔλεγα ὅτι ἀπέχει πολὺ ἀπὸ τοῦ νὰ εἶναι ἀληθὲς εἰς σέ· ἄλλωστε δὲν θὰ ἀπεφάσιζα νὰ εἴπω κανένα ἀπὸ τοὺς λόγους τούτους, ἐὰν δὲν διέβλεπα ὅτι ἡ χάρις εἶναι μεγαλυτέρα διὰ τὸν δίδοντα παρὰ διὰ τοὺς λαμβάνοντας. Ἡ δὲ μεγαλοψυχία τοῦ τρόπου σου δὲν θὰ γνωσθῇ εἰς ὀλίγους μόνον, διότι ὅλοι οἱ Καππαδόκαι παρακολουθοῦν τί πρόκειται νὰ γίνῃ, θὰ ἠὐχόμην δὲ νὰ ἀπαριθμηθῇ ἀπὸ αὐτοὺς καὶ τοῦτο μαζὶ μὲ τὰ ἄλλα ἀγαθά σου προσόντα.

Διστάζω νὰ παύσω τὸ γράψιμον, νομίζων ὅτι τὸ παραλειφθὲν θὰ φέρῃ ζημίαν. Θὰ προσθέσω λοιπὸν τόσον μόνον, ὅτι, ἐνῷ εἶχεν ἀπὸ πολλοὺς ἐπιστολὰς μεσιτευτικάς, αὐτὸς ἐθεώρησε προτιμοτέραν τὴν ἰδικήν μας, ἐπειδή, δὲν γνωρίζω

2. Ἡροδότου, Ἱστορίαι 1, 88.

οἶδ' ὅπως μαθὼν εἶναί τινα ἡμῶν λόγον παρὰ τῇ σῇ τελειότητι. Ὅπως οὖν μήτε αὐτὸς ψευσθῇ τῶν ἐλπίδων ἃς ἐφ' ἡμῖν ἔσχε καὶ ἡμῖν ὑπάρξῃ πρὸς τοὺς ἐνταῦθα σεμνολογεῖσθαι, παρακέκλησο, Δέσποτα ἀνυπέρβλητε, ἐπινεῦσαι πρὸς τὴν αἴτησιν. Πάντως δὲ οὐδενὸς χεῖρον τῶν πώποτε φιλοσοφησάντων ἐπέσκεψαι τὰ ἀνθρώπινα, καὶ οἶδας ὡς καλὸς θησαυρὸς πᾶσι τοῖς δεομένοις ὑπουργεῖν προαποκείμενος.

253

152. ΒΙΚΤΩΡΙ ΣΤΡΑΤΗΛΑΤΗ

Ἄλλῳ μέν τινι μὴ ἐπιστέλλων, τάχα ἂν δεξαίμην δικαίως ἔγκλημα ῥᾳθυμίας ἢ λήθης. Σοῦ δὲ πῶς ἔστιν ἐπιλαθέσθαι, οὗ παρὰ πᾶσιν ἀνθρώποις λαλεῖται τὸ ὄνομα; Πῶς δὲ καταῤῥᾳθυμῆσαι, ὃς πάντων σχεδὸν τῶν κατὰ τὴν οἰκουμένην τῷ ὕψει τῶν ἀξιωμάτων ὑπερανέστηκας; Ἀλλὰ δήλη ἡμῶν ἡ αἰτία τῆς σιωπῆς. Ὀκνοῦμεν δι' ὄχλου γενέσθαι ἀνδρὶ τοσούτῳ. Εἰ δὲ πρὸς τῇ λοιπῇ σου ἀρετῇ καὶ τοῦτο κατεδέξω οὐ μόνον πεμπόμενα παρ' ἡμῶν δέχεσθαι γράμματα, ἀλλὰ καὶ ἐλλειφθέντα ἐπιζητεῖν, ἰδοὺ καὶ γράφομεν νῦν τεθαρρηκότως καὶ γράψομέν γε πρὸς τὸ ἐφεξῆς, εὐχόμενοι τῷ ἁγίῳ Θεῷ δοθῆναί σοι τὴν ἀμοιβὴν τῆς περὶ ἡμᾶς τιμῆς. Ὑπὲρ δὲ τῆς Ἐκκλησίας προέλαβες ἡμῶν τὰς παρακλήσεις πάντα ποιήσας ὅσα ἂν ἡμεῖς ἐπεζητήσαμεν. Ποιεῖς δὲ οὐκ ἀνθρώποις χαριζόμενος, ἀλλ' Θεῷ τῷ τιμήσαντί σε, ὃς τὰ μὲν ἔδωκεν ἐν τῇ νῦν ζωῇ ἀγαθά, τὰ δὲ δώσει ἐν τῷ μέλλοντι αἰῶνι, ἀνθ' ὧν μετὰ

Ἐπιστολὴ 152. Ἐγράφη τὸ 373. Ὁ στρατηλάτης Βίκτωρ τῆς παρού-

μὲ ποῖον τρόπον, ἔμαθεν ὅτι ἡ τελειότης σου ὑπολογίζει τὴν γνώμην μου. Διὰ νὰ μὴ διαψευσθοῦν λοιπὸν αἱ ἐλπίδες ποὺ ἐστήριξεν εἰς ἡμᾶς καὶ διὰ νὰ ἠμπορῶμεν καὶ ἡμεῖς νὰ ὑπερηφανευώμεθα πρὸς τοὺς ἐδῶ, κάμε μας τὴν χάριν, ἀνυπέρβλητε κύριε, νὰ δεχθῇς τὸ αἴτημα. Ἀσφαλῶς ἔχεις μελετήσει τὰ ἀνθρώπινα ὄχι ὀλιγώτερον ἀπὸ ὁποιονδήποτε τῶν φιλοσόφων τοῦ παρελθόντος καὶ γνωρίζεις πόσον καλὸς θησαυρὸς ταμιευμένος εἶναι τὸ νὰ ἐξυπηρετῇ κανεὶς ὅλους τοὺς ἔχοντας ἀνάγκην.

253

ΕΠΙΣΤΟΛΗ 152
ΠΡΟΣ ΤΟΝ ΣΤΡΑΤΗΛΑΤΗΝ ΒΙΚΤΩΡΑ

Ἐὰν δὲν ἔγραφα εἰς κάποιον ἄλλον, δικαίως ἴσως θὰ ἐδεχόμην κατηγορίαν ραθυμίας ἢ λησμοσύνης. Πῶς ὅμως εἶναι δυνατὸν νὰ λησμονήσω ἐσέ, τοῦ ὁποίου τὸ ὄνομα φέρεται εἰς τὰ στόματα ὅλων τῶν ἀνθρώπων; Πῶς δὲ νὰ βαρεθῶμεν ἐσὲ ποὺ ἐπέρασες ὅλους σχεδὸν τοὺς ἀνθρώπους τῆς γῆς κατὰ τὸ ὕψος τῶν ἀξιωμάτων; Ἀλλ' εἶναι φανερὰ ἡ αἰτία τῆς σιωπῆς μας. Διστάζομεν νὰ ἐνοχλήσωμεν ἕνα τόσον μεγάλον ἄνδρα. Ἐὰν δὲ ἐκτὸς τῆς ἄλλης σου ἀρετῆς κατεδέχθης καὶ τοῦτο, ὄχι μόνον νὰ δέχεσαι γράμματα στελλόμενα ἀπὸ ἡμᾶς ἀλλὰ καὶ νὰ τὰ ἐπιζητῇς ὅταν παραλείπωνται, ἰδοὺ καὶ τώρα σοῦ γράφομεν μὲ θάρρος καὶ εἰς τὸ μέλλον θὰ σοῦ γράφωμεν, εὐχόμενοι εἰς τὸν ἅγιον Θεὸν νὰ σοῦ δοθῇ ἀπὸ αὐτὸν ἡ ἀμοιβὴ διὰ τὴν πρὸς ἐμὲ ἐκ μέρους σου τιμήν.

Τὰς ὑπὲρ τῆς Ἐκκλησίας δὲ παρακλήσεις μας τὰς ἐπρόλαβες, ἀφοῦ ἔκαμες ὅλα ὅσα θὰ ἠμπορούσαμεν νὰ ζητήσωμεν ἡμεῖς. Τὰ κάμνεις δὲ χαριζόμενος ὄχι εἰς ἀνθρώπους ἀλλὰ εἰς τὸν Θεὸν ποὺ σ' ἐτίμησεν. Αὐτὸς δὲ ἄλλα μὲν ἀγαθὰ σοῦ ἔδωσεν εἰς τὴν παροῦσαν ζωήν, ἄλλα δὲ θὰ σοῦ δώσῃ εἰς τὸν μέλλοντα

σης ἐπιστολῆς εἶναι τὸ ἴδιον πρόσωπον μὲ τὸν πρῶην ὕπατον Βίκτωρα τῆς ἐπιστολῆς 153 Β' τ., κατὰ πᾶσαν πιθανότητα.

ΒΑΣΙΛΕΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ
ΤΟΥ ΜΕΓΑΛΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

3

ΕΠΙΣΤΟΛΑΙ Γ΄

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟΝ - ΜΕΤΑΦΡΑΣΙΣ - ΣΧΟΛΙΑ

Ὑπὸ
ΠΑΝΑΓΙΩΤΟΥ Κ. ΧΡΗΣΤΟΥ
Καθηγητοῦ Πανεπιστημίου